Ἀλλ' ἂν ϗ κοινῶς ὅλοι δὲν ἀξιοῦνται νὰ ἴδωσιν ἐπίσης τὸ θεῖον ἐκεῖνο φῶς, κοινῶς ὅμως ὅλοι ἀπολαμβάνουσι τὰς θείας χάριτας τῆς Θεομήτορος, ὅταν μὲ καθαρὰν πίστιν ϗ εὐλάβειαν προσπέσωσιν εἰς τὴν ἱερὰν ταύτην ϗ ἀχειροποίητον Εἰκόνα της. Ὁ τυφλὸς ἀπολαμβάνει τὸ φῶς, ὁ χωλὸς ἀνορθοῦται, ὁ ἄλαλος λαλεῖ, ὁ λεπρὸς καθαρίζεται, ϗ ἐν συντόμῳ πᾶν εἶδος ἀσθενείας ἀποδιώκεται ἀπὸ τοὺς πάσχοντας, ϗ τὸ πολύμορφον τῶν χρωμάτων μετεβλήθη διὰ τὴν ἀσθένειαν ἡμῶν εἰς τὸ πολυειδὲς τῶν ἰάσεων. Καὶ τοῦτο θαῦμα μέγιστον τῆς Θεοτόκου διὰ τοὺς κατοίκους ἐκείνους τῶν μερῶν· καθότι βλέποντες τὰ καθημερινὰ θαύματα, τὰ ὁποῖα ἐκτελεῖ, στηρίζονται εἰς τὴν ὀρθόδοξον ἡμῶν πίστιν, ϗ μ' ὅλον τὸ ὅτι ὑστεροῦνται σωματικῶς διδασκαλίας, ϗ χειραγωγίας, διδασκαλικῆς, μὲ ὅλον τοῦτο ἀπὸ τὰς ἐξαισίας θαυματουργίας τῆς ἱερᾶς ταύτης Εἰκόνος λαμβάνουσι τὴν τελείαν πληροφορίαν, ὅτι μόνη ὀρθὴ ϗ ἀμώμητος εἶναι ἡ πίστις ἡμῶν τῶν Χριστιανῶν, ϗ ὑποφέρουσιν εὐχαρίστως τὰς βασάνους καὶ ἀφορήτους τυραννίας τὰς ὁποίας σχεδὸν καθ' ἡμέραν δοκιμάζουσιν ἀπὸ τοὺς ἀλλοφύλους, ϗ ἐλπίζουσιν, ὅτι ἡ Θεοτόκος μὲ τὰς μητρικὰς πρὸς τὸν μονογενῆ της Υἱὸν ἱκεσίας, θέλει τοὺς ἀξιώσῃ ϗ τῆς οὐρανίου Βασιλείας.

Ἀ-

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

## ΔΙΟΝΥΣΙΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ,

Τοῦ ὕστερον ἀσκήσαντος ἐν τῇ Ἱερᾷ Μονῇ τῆς Εἰκοσιφοινίσσης.

Εἰς τὸ Κύριε ἐκέκραξα Ἱστῶμεν Στίχ. ϛ'. καὶ ψάλλομεν στιχηρὰ προσόμοια Τοῦ Ἁγίου γ'. διπλοῦντες αὐτά. Ἦχος ά.

Τῶν οὐρανίων ταγμάτων.

Δικαίων Μνήμην τιμᾶσθαι πέφυκε δίκαιον, τιμάσθω οὖν σὺν τούτοις, ὡς τοιοῦτος τυγχάνων, ὁ μέγας Ἱεράρχης, καὶ μοναστῶν, τὸ σεπτὸν ἐγκαλλώπισμα, καὶ ἀρετῆς τῆς γνησίας τὸ ἀκραιφνὲς, ἐκμαγεῖον Διονύσιος.

Δεῦτε Φιλίππων τὰ πλήθη χορείαν στήσασθε, Ἱεραρχῶν τὸ κλέος, ἐτησίοις ἐν ὕμνοις, φαιδρῶς ἀνευφημοῦντες. καὶ γὰρ ὑμῖν, τὰς ἰάσεις παρέχεται, καὶ τῶν δεινῶν ἐκλυτροῦται, καὶ πειρασμῶν, ταῖς πρὸς Κύριον δεήσεσι.

Μονὴ σεμνύνεται ὄντως Εἰκοσιφοίνισσα, ἐν ἑαυτῇ τηροῦσα τὴν σωρὸν τῶν λειψάνων, τοῦ θείου Ἱεράρχου, καὶ ἐξ αὐτῆς, τοῖς πιστοῖς διανέμουσα, παντοδαπὰς τὰς ἰάσεις, καὶ ψυχικῶν, μολυσμάτων θείαν κάθαρσιν.

Δόξα Ἦχος πλ. δ'.

Τῆς τρισηλίου Θεότητος τῷ ἀπροσίτῳ Φωτὶ τὸν νοῦν ἐλλαμπόμενος Πάτερ, τῶν γραφῶν εἰσέδυς τὸν γνόφον, καὶ ὑπερφυῶς ἐμυήθης τὰ ἄῤῥητα, ὅθεν καὶ ἀπταίστως τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν, τοῖς μὲν πιστοῖς ἐγένου τῶν ὀρθῶν δογμάτων εἰσηγητὴς ἀκαταίσχυντος, τοῖς δ' ἀπίστοις πέλεκυς ὀξὺς, πρόῤῥιζον ἐκτέμνων, πᾶσαν τῶν σαπρῶν διδαγμάτων, ὀθνείαν ἀναβλάστησιν. καὶ οὕτω τὴν πίστιν τηρήσας, καὶ τὸν δρόμον τελέσας, ὡς ἀριστεὺς γενναιότατος ἔτυχες τοῦ τέλους, οὗ ἐπόθεις, καὶ τὰ βραβεῖα ἀπήλειφας, ἅ σοι κατ' ἀξίαν τῶν πόνων ἐν οὐρανοῖς ἀναπέκειτο. καὶ νῦν παριστάμενος τῷ θρόνῳ τοῦ Παντάνακτος Θεοῦ, ἐκτενῶς ἱκέτευε, ἵνα ῥυσθῶμεν πάντων τῶν ἐπαπειλουμένων δεινῶν, καὶ τῆς μελλούσης ἀπαλλαγῶμεν

κολάσεως, ταῖς ἱεραῖς μεσιτείαις σου.

Καὶ νῦν, Ὁ Βασιλεὺς τῶν οὐρανῶν.

Εἴσοδος, τὸ Φῶς Ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας, ϗ τὰ ἀναγνώσματα.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

ΜΝήμη Δικαίου μετ' ἐγκωμίων, ϗ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος ὃς εὗρε σοφίαν, καὶ θνητὸς ὃς εἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν (οὐκ ἀντιτάξεται αὐτῇ οὐδὲν πονηρόν· εὔγνωστός ἐστι πᾶσι τοῖς ἐγγίζουσιν αὐτήν.) πᾶν δὲ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐστίν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, Νόμον δὲ ϗ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ, ϗ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, ϗ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, ϗ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ Σοφία κατεσκεύασα βουλήν, ϗ γνῶσιν, ϗ ἔννοιαν, ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ ϗ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες, εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου, ϗ πάλιν, σεμνὰ γὰρ ἐρῶ, ϗ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ, χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου. Οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, ϗ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, ϗ πλησθήσεσθε Πνεύματος.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

ΣΤόμα Δικαίου ἀποστάζει σοφίαν, γλῶσσα δὲ ἀδίκου ἐξολεῖται. Χείλη ἀνδρῶν Δικαίων ἐπίστανται χάριτας, στόμα δὲ ἀσεβῶν καταστρέφεται. Ζυγοὶ δόλιοι βδέλυγμα ἐνώπιον Κυρίου, στάθμιον δὲ δίκαιον δεκτὸν αὐτῷ. Οὗ ἐὰν εἰσέλθῃ ὕβρις, ἐκεῖ ϗ ἀτιμία· στόμα δὲ ταπεινῶν μελετᾷ σοφίαν. Τελειότης εὐθέων ὁδηγήσει αὐτούς, ϗ ὑποσκελισμὸς ἀθετούντων προνομεύσει αὐτούς. Οὐκ ὠφελήσει ὑπάρχοντα ἐν ἡμέρᾳ θυμοῦ, δικαιοσύνη δὲ ῥύσεται ἀπὸ θανάτου· ἀποθανὼν Δίκαιος ἔλιπε μεταμέλον. πρόχειρος δὲ γίνεται ϗ ἐπίχαρτος ἀσεβῶν ἀπώλεια. Δικαιοσύνη ἀμώμου ὀρθοτομεῖ ὁδούς, ἀσέβεια δὲ περιπίπτει ἀδικίᾳ. Δικαιοσύνη ἀνδρῶν ὀρθῶν ῥύσεται αὐτούς, τῇ δὲ ἀβουλίᾳ ἁλίσκονται παράνομοι. Τελευτήσαντος ἀνδρὸς δικαίου, οὐκ ὄλλυται ἐλπίς, τὸ δὲ καύχημα τῶν ἀσεβῶν ὄλλυται.

Δί-

Δίκαιος ἐκ θήρας ἐκδύνει, ἀντ' αὐτοῦ δὲ παραδίδοται ὁ ἀσεβής. Ἐν στόματι ἀσεβῶν παγὶς πολίταις, αἴσθησις δὲ δικαίων εὔοδος. Ἐν ἀγαθοῖς δικαίων κατώρθωται Πόλις, καὶ ἐν ἀπωλείᾳ ἀσεβῶν ἀγαλλίαμα. Ἐν εὐλογίᾳ εὐθέων ὑψωθήσεται Πόλις, στόματι δὲ ἀσεβῶν κατασκαφήσεται. Μυκτηρίζει πολίτας ἐνδεὴς φρενῶν, ἀνὴρ δὲ φρόνιμος ἡσυχίαν ἄγει.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

ΔΊκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς. Ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μὴ δὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἰς τὴν Λιτὴν ἦχος ά.

Κρειττόνων πάτερ καὶ θειοτέρων ἐκ βρέφους ἐφιέμενος, πατρίδα καὶ φύντας καταλιπὼν ἐπὶ τὴν βασιλίδα τῶν πόλεων ἔδραμες, καὶ Μάρκῳ τῷ θειοτάτῳ πατρὶ συνόμιλος γενόμενος, σοφίας ἱερᾶς ἀπεμάξω σωτήρια νάματα, οἷς αὐτὸς ποτισθεὶς, καὶ τοῖς ἄλλοις ἐπεδαψιλεύσω ὑετὸν Θεογνωσίας οὐράνιον, πᾶσαν δὲ τὴν ἐν ἐκείνῳ ἀρετὴν εἰς σεαυτὸν μεθαρμοσάμενος, καὶ καλλιεργήσας ἀρίστῃ φερεπονίᾳ, καρπὸν ἀπέδωκας πολλαπλάσιον, πολλοὺς ἐκκαλέσας εἰς τὴν τῆς ἀρετῆς μίμησιν. οἷς καὶ συναγάλλῃ ἐν οὐρανοῖς, ὑπὲρ ἡμῶν πρεσβεύων πρὸς Κύριον.

Ὁ αὐτός.

Ἵνα σοι πάτερ πολυανθὴς πλεχθείη ὁ στέφανος, καὶ λαμπρότερα ἀποδοθείη τὰ γέρα, οὐδὲ μαρτυρικῶν παλαισμάτων ἐστέρησαι, ἀλλ' ἐν μέσῳ τυράννων τὸν Χριστὸν ὁμολογήσας, καὶ μυρία ὑπενεγκὼν κολαστήρια, στίγμασιν ἀθλητικοῖς τὸ καρτερικὸν σῶμα τὸ σαυτοῦ καθωραΐσας. καὶ πράγματι μὲν ὁμολογητὴς ἐχρημάτισας, τῇ δὲ διαθέσει μάρτυς ἀνωμολόγησαι· εἰ γὰρ καὶ ἐκ μέσων τῶν σκαμμάτων θείᾳ δυνάμει ἀνήρπασαι, καὶ ζῶν διεσώθης, ἀλλ' οὕτω τῇ προνοίᾳ ἔδοξε, ἵν' ὡς ἐν χωνευτηρίῳ τοῖς μαρτυρικοῖς ἄθλοις δοκιμασθεὶς, παράδειγμα γένοιο τοῖς ἀδυνατωτέροις, καὶ περὶ τὴν πίστιν ὀκλάζουσιν, οὓς καὶ ἐνίσχυσας, καὶ φέρειν ἔπεισας τὰ δεινὰ, ἵν' εὐσεβῶς βιώσαντες, τῆς οὐρανίου τύχοιεν μακαριότητος.

Ὁ αὐτός.

ΟΥ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη, οὐδ' ἀρετὴ ἀγνοηθῆναι, ἡλίου φανώτερον διαλάμπουσα, ἐντεῦθεν καὶ σὺ πάτερ περιέκρυβες μὲν σεαυτὸν, καὶ λαθεῖν ἐπειρῶ, καὶ τὴν φήμην ἀπεῖργες, ἀλλ' οὐκ ἦν τῆς σῆς ἀρετῆς τὸ κρυβῆναι, οὐδὲ τῶν φιλοκάλων τὸ ἀγνοῆσαι θησαυρὸν ἐγκρυπτόμενον, ἔδει μᾶλλον τὸν λύχνον τεθεῖναι ἐπὶ τῆς λυχνίας, ἵνα τοὺς δεομένους φωτὸς, καταυγάζοι· ταύτης δὲ τῆς χάριτος ἡ Φιλίππου πόλις εὐμοιρήσασα, σὲ Ἱεράρχην ἐκληρώσατο, καὶ ταῖς ἀπὸ σοῦ λαμπηδόσι καταυγασθεῖσα, τὸ ἐπικείμενον ἀπεσείσατο σκότος, καὶ ἐν μέσῳ πολλῶν ἀσεβῶν, οὐκ ἐπαύσατο καθορῶσα τὸ τῆς Θεογνωσίας φῶς, ταῖς τῶν ὀρθοδόξων ψυχαῖς ἐπιλάμπον. καὶ γέγονας φωστὴρ, ἐν καιροῖς ἀπαιτοῦσι τὴν ἔλλαμψιν. Δόξα ἦχος Ὁ αὐτός.

Εἴπερ ἀναφαίρετος ἐστιν ὁ τῆς ἀρετῆς πλοῦτος, καὶ ἐν σμικρῷ τυγχάνει ἀχώρητος. οὐ γὰρ ἔχει φύσιν ἀποκείμενος μένειν ἄγονος, ἀλλὰ θαμὰ καρποφορεῖ, καὶ ὑπερεκχεῖται, τοῖς χρόνοις συμπληθυνόμενος, καὶ φοιτᾷ ἑκασταχοῦ, ὑπερεξαίρων τὸν ἔχοντα. ἐντεῦθεν πάτερ, καὶ τῶν σῶν ἀρετῶν τὸ πολύγονον, οὐχ οἷά τε ἦν κατασχεῖν καὶ κρατῆσαι, μοῖρα χθονὸς θρακικῆς ἄσημος, ἀλλ' ὑπερεκχυθὲν, καὶ εἰς αὐτὰ εἰσήλασε τὰ ἀνάκτορα, καὶ ἐξεθάμβισε βασιλεῖς, καὶ τεθηπέναι κατηνάγκασε. δεινὸν ἡγησάμενοι, εἰ τοσοῦτος ἀρετῆς ὄλβος ὑπὸ τὸν μόδιον κρύπτοιτο, ἐπὶ τὴν σκοπιάν σε ἀνήγαγον, τὸν Οἰκουμενικὸν θρόνον διέπειν, θεοφιλῶς σοι ἐμπιστευσάμενοι καὶ δεικνῦναι πᾶσιν, οἷον εἶναι δεῖ τὸν ψυχὰς ἀνθρώπων διοικεῖν ἀναδεξάμενον. τότε ἡγήσω ἀρετῆς ἠνεῷχθαι σοι στάδιον. καὶ γενναίως ἀποδυσάμενος εἰς αὐτὸ ἀγῶνα λαμπρὸν ἠγωνίσω, καὶ πάντας ἀντικειμένους κατεπάλαισας. καὶ στεφανηφόρος ἀναδειχθεὶς, ἐξῆλθες ἐναντίον πάντων, σὺν κρότοις εὐφημούμενος.

Καὶ νῦν. Ὁ αὐτός.

Τῇ πρεσβείᾳ Κύριε πάντων τῶν ἁγίων καὶ τῆς Θεοτόκου τὴν σὴν εἰρήνην δὸς ἡμῖν, καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος οἰκτίρμων.

Εἰς τὸν Στίχον. στιχηρὰ προσόμοια. ἦχος πλ. ά.

Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις ἱεραρχούντων κανὼν, καὶ μοναζόντων τὸ λαμπρὸν ἐγκαλλώπισμα. καὶ γὰρ λαὸν σὺ ποιμάνας, καὶ πρὸς νομὰς ἀγαθὰς, ὁδηγήσας, τοῦτον, ὑπεχώρησας, ἐχθρῶν τὴν δυσμένειαν, ἀπελέγξας σοφώτατα, ἐπ' ὤμων δ' ἄρας τὸν Σταυρὸν τοῦ Κυρίου σου, ἠκολούθησας τοῖς αὐτοῦ θείοις ἴχνεσι, ἄμεμπτον, ἀκηλίδωτον, τηρήσας τὸ σκήνωμα, ἐν ᾧ σαφῶς κατοικήσας, πηγὴν θαυμάτων ἀνέδειξεν,

δεῖξε, Χριστὸς, ὃν δυσώπει ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Στίχος, Τὸ στόμα με λαλήσει σοφίαν.

ΕΥ'ρε σου τὴν ψυχὴν ἀληθῶς, τὸ Θεῖον Πνεῦμα ἱερὸν καταγώγιον, καὶ οὕτως ἐν σοὶ σκηνῶσαν, λογίων θείου πηγὴν, καὶ διδαγμάτων. σὲ ἀναδείκνυσι, σοφοῖς σου ἐν λόγοις, ψυχὰς ἀνθρώπων ποτίζοντα, καὶ ἀσεβείας πᾶσαν λύμην ἐκπλύνοντα, τῶν εὐσεβῶν δὲ, τὰς ἀρούρας ἀρδεύοντα, ὅθεν ἀποδεδώκασι, καρπὸν πολλαπλάσιον, τὴν ἑαυτῶν σωτηρίαν, καὶ τὴν τῶν ἄλλων ὠφέλειαν. μεθ᾽ ὧν συγχορεύεις, εὐφραινόμενος ἀπαύστως, ἐν οὐρανίαις σκηναῖς.

Στίχος, Στόμα δικαίου μελετήσει σοφίαν.

Πάτερ ἐν οὐρανοῖς ὁμιλῶν, χοροῖς Ἀγγέλων ἱερὲ Διονύσιε, ταῖς ἴσαις ἐνδιαυγάζῃ, παρὰ Θεοῦ ἀστραπαῖς, ὡς τὴν τούτων ὄντως μιμησάμενος, ζωὴν τὴν οὐράνιον, ἐπὶ γῆς τρισμακάριε, ὡς γὰρ Ἄγγελος, ἐπὶ γῆς πεπολίτευσαι, καὶ ἐν σώματι, ἠγωνίσω, ὡς ἄσαρκος: ὅθεν καὶ κατηξίωσαι, ὁρᾶν τὸ ἀθέατον, καὶ σὺν Ἀγγέλοις κραυγάζειν, ὕμνον Θεῷ τὸν τρισάγιον. αὐτὸν οὖν δυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Δόξα ἦχος πλ. ά.

Ὅσιε πάτερ, σὺ τὸ λογικὸν ποίμνιον ὀρθοδόξως ἐποίμανας, καὶ πρὸς νομὰς σωτηρίου, ταῖς σοφαῖς διδασκαλίαις ταῖς σαυτοῦ καθωδήγησας. εἶτα τὸν σταυρὸν ἐπ᾽ ὤμων ἀράμενος, ἐχώρησας, κατὰ τοῦ ἀλάστορος, καὶ τὴν ἀσκητικὴν ὁδεύσας ὁδὸν, ἀρετῇ συνήψας ἀρετὴν, ἱεραρχίᾳ τὸν μοναδικὸν κοσμήσας βίον. ἱδρῶσι δ᾽ ἀσκητικοῖς πάντα ἀποπλύνας ψυχῆς καὶ σώματος μολυσμὸν, καὶ τὴν σάρκα νεκρώσας, ὡς Ἄγγελος ἐπολιτεύσω ἐπὶ τῆς γῆς. καὶ τὸν χοῦν τῷ χοῒ καταλιπὼν, πρὸς οὐρανὸν ἀπέπτης, τοῖς Ἀγγέλοις συνεσόμενος. οἷς καὶ συμπαριστάμενος τῇ ἀπροσίτῳ Θεότητι, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Ὁ αὐτός.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἀρραγὲς, τὴν ἀρραγῆ προστασίαν καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Τροπάριον ἦχος πλ. δ'.

Ὀρθοδοξίας ὁδηγὲ, εὐσεβείας διδάσκαλε, καὶ σεμνότητος, τῆς οἰκουμένης ὁ φωστὴρ, τῶν μοναζόντων θεόπνευστον ἐγκαλλώπισμα, Διονύσιε σοφὲ, ταῖς διδαχαῖς σου πάντας ἐφώτισας, λύρα τοῦ πνεύματος, πρέσβευε Χριστῷ τῷ Θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν. Θεοτοκίον. Ὁ δι᾽ ἡμᾶς γεννηθείς.



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Εἰς τὸν Ὄρθρον μετὰ τὴν α΄. Στιχολογίαν. Κάθισμα ἦχος α΄.

Τὸν τάφον σου Σωτήρ.

Ἀγάλλεται φαιδρῶς, μοναστῶν ἡ χορεία, γεραίρουσα σεπτῶς, τοὺς ἀγῶνάς σου μάκαρ, οὓς ἔτλης πανοίδιμε, λειτουργῶν τῷ Δεσπότῃ σου. σὺ κατῄσχυνας παρανομούντων τὰ πλήθη, καὶ ἐξήλεγξας τὴν κατὰ σοῦ λοιδορίαν, ὡς ὅλως ἀνύπαρκτον. Θεοτοκίον.

Μητέρα σε Θεοῦ, ἐπιστάμεθα πάντες, Παρθένον ἀληθῶς, καὶ μετὰ τόκον φανεῖσαν, οἱ πόθῳ καταφεύγοντες πρὸς τὴν σὴν ἀγαθότητα. σὲ γὰρ ἔχομεν ἁμαρτωλοὶ προστασίαν, σὲ κεκτήμεθα ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην πανάμωμον.

Μετὰ τὴν β΄. Στιχολογίαν. Κάθισμα. ἦχος δ΄.

Κατεπλάγη Ἰωσήφ.

Κατῃσχύνθησαν τρανῶς, τῶν ἀνομούντων ἡ πληθύς. καὶ ᾐδέσθησαν λαμπρῶς, τὸ περιὸν τῆς ἀρετῆς, τῆς ἐνοικούσης σοι πάτερ ἀνυποκρίτως· οἶδε γὰρ ἐχθρὸς ἀνδρὸς τιμᾷν ἀρετήν. δείκνυσι δ᾽ αὐτὸ, τὸ ἐπὶ σοὶ γεγονός. καὶ γὰρ ἐχθροὶ πεσόντες προσεκύνησαν, καὶ ἀληθῶς ὡμολόγησαν, ἡμαρτηκέναι, ἐφ᾽ οἷς κατεῖπον, καὶ συγγνώμην ᾐτήσαντο. Θεοτοκίον.

Κατεπλάγησαν Ἁγνὴ, πάντες Ἀγγέλων οἱ χοροὶ, τὸ μυστήριον τῆς σῆς, κυοφορίας τὸ φρικτὸν, πῶς ὁ τὰ πάντα συνέχων νεύματι μόνῳ, ἀγκάλαις ὡς βροτὸς ταῖς σαῖς συνέχεται, καὶ δέχεται ἀρχὴν, ὁ προαιώνιος, καὶ γαλουχεῖται σύμπασαν, ὁ τρέφων πνοὴν ἀφάτῳ χρηστότητι, καὶ σὲ ὡς ὄντως Θεοῦ Μητέρα, εὐφημοῦντες δοξάζομεν.

Μετὰ τὸν πολυέλεον, Κάθισμα ἦχος πλ. α΄.

Τὸν συνάναρχον λόγον.

Τῶν ἐχθρῶν τὰς παγίδας ἀποσεισάμενος, καὶ ἡσύχιον βίον πάτερ ἑλόμενος, τρικυμίας χαλεπὰς κατεπράϋνας, καταπαλαίσας τῆς σαρκὸς τὴν ἀκάθεκτον ὁρμὴν, καὶ λόγῳ καθυποτάξας. καὶ ὤφθης ἐν πᾶσι πάτερ, κανὼν ἀκριβὴς τῆς ἀληθοῦς ἀρετῆς. Θεοτοκίον.

Τῆς ψυχῆς μου τὰ πάθη τὰ πολυώδυνα, καὶ σαρκός μου τὰς νόσους ἐν τάχει ἴασαι, τὰς τοῦ νοός μου ἐκτροπὰς στῆσον Πανάμωμε, καὶ ἐν γαλήνῃ λογισμῶν, εὐχὰς προσφέρειν καθαρὰς, τῷ Βασιλεῖ τῶν ἁπάντων, ἀξίωσον Θεοτόκε, καὶ ἐξαιτεῖσθαι πταισμάτων ἄφεσιν.

Οἱ ἀναβαθμοὶ τὸ ά. ἀντίφωνον τȣ̃ δ'. ἤχȣ.

Προκείμενον ἦχος δ'.

„ Τὸ ςόμα μȣ λαλήσει σοφίαν, ϰ̀ ἡμελέτη

„ Ἀκȣ́σατε ταῦτα πάντα τὰ ἔθνη.

Τὸ πᾶσα πνοή. Τὸ Εὐαγγέλιον.

Ἐκ τȣ̃ Κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος πρὸς τȣ̀ς ἐληλυθότας πρὸς αὐτὸν Ἰȣδαίȣς, ἀμὴν ἀμὴν, λέγω ὑμῖν, ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν ἐκεῖνος κλέπτης ἐςὶ ϰ̀ λῃςής. Ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας, ποιμήν ἐςι τῶν προβάτων. τȣ́τῳ ὁ θυρωρὸς ἀνοίγει, καὶ τὰ πρόβατα τῆς φωνῆς αὐτȣ̃ ἀκȣ́ει, ϰ̀ τὰ ἴδια πρόβατα καλεῖ κατ᾽ ὄνομα, ϰ̀ ἐξάγει αὐτά· ϰ̀ ὅταν τὰ ἴδια πρόβατα ἐκβάλῃ, ἔμπροσθεν αὐτῶν πορεύεται, καὶ τὰ πρόβατα αὐτῷ ἀκολȣθεῖ, ὅτι οἴδασι τὴν φωνὴν αὐτȣ̃, ἀλλοτρίῳ δὲ ȣ̓ μὴ ἀκολȣθήσȣσιν, ἀλλὰ φεύξονται ἀπ᾽ αὐτȣ̃, ὅτι ȣ̓κ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν. Ταύτην τὴν παροιμίαν εἶπεν αὐτοῖς ὁ Ἰησȣ̃ς. ἐκεῖνοι δὲ ȣ̓κ ἔγνωσαν, τίνα ἦν ἃ ἐλάλει αὐτοῖς. Εἶπεν ȣ̃ν πάλιν αὐτοῖς ὁ Ἰησȣ̃ς. ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων. Πάντες, ὅσοι ἦλθον πρὸ ἐμȣ̃, κλέπται εἰσὶ ϰ̀ λῃσαί· ἀλλ᾽ ȣ̓κ ἤκȣσαν αὐτῶν τὰ πρόβατα. ἐγώ εἰμι ἡ θύρα, δι᾽ ἐμȣ̃ ἐάν τις εἰσέλθῃ, σωθήσεται, ϰ̀ εἰσελεύσεται, ϰ̀ ἐξελεύσεται, ϰ̀ νομὴν εὑρήσει.

Ὁ Ν'. Δόξα. ταῖς τȣ̃ Ἱεράρχȣ, Καὶ νῦν ταῖς τῆς Θεοτόκȣ.

Εἰς τὸ, Ἐλέησόν με ὁ Θεός, Ἰδιόμελον, ἦχος πλ. β'.

Ὅσιε πάτερ, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων σȣ. διὸ ἐν τοῖς ȣ̓ρανοῖς εὗρες μισθὸν τῶν καμάτων σȣ. τῶν δαιμόνων ὤλεσας τὰς φάλαγγας, τῶν Ἀγγέλων ἔφθασας τὰ τάγματα, ὧν τὸν βίον ἀμέπτως ἐζήλωσας. παῤῥησίαν ἔχων πρὸς Θεὸν, εἰρήνην αἴτησαι ταῖς ψυχαῖς ἡμῶν.

Ὁ Κανὼν τῆς Θεοτόκȣ εἰς ς'. ϰ̀ τȣ̃ Ἁγίȣ εἰς ή.

Οὗ ἡ Ἀκροςιχὶς πλὴν τῶν Θεοτοκίων.

„ Διονύσιον ὑμνῶ πόθῳ, χρύσανθος.

Ὠδὴ ά. ἦχος πλ. δ'. Ἁρματηλάτην Φαραώ.

Δεῦτε συμφώνως ἱερέων τάγματα, ϰ̀ μοναζόντων πληθὺς, Διονυσίȣ πάντες, ὑμ-

ὕμνοις κατασέψωμεν, τὴν ὄντως Θεοκόσμητον, κορυφὴν ἀνυμνοῦντες, τὸν τοῦτον οὕτω δοξάσαντα, ὡς αὐτοῦ θεράποντα Κύριον.

Ἱεραρχούντων ἱερὸν νῦν καύχημα, καὶ Ἱερέων χαρὰ, δόξα μοναζόντων, Εὐσεβῶν ἑδραίωμα, σὺ ἀνεδείχθης ἔνδοξε, Διονύσιε πάτερ, πιστὸς φανεὶς τῷ Δεσπότῃ σου, ὡς καλὸς ποιμὴν καὶ οὐκ ἔμμισθος.

Ὁ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ Πνεύματος, ἁγίου ἔνδοξε, πόθος ἐν ψυχῇ σου, καὶ καρδίᾳ τέτηκται, διὸ ἀσμένως Ὅσιε, παριδὼν θρόνον πάτερ τὴν ἡσυχίαν ἀπήλειφας, ἔνθα καὶ πεπλούτηκας θαύμασι.

Θεοτοκίον.

Παρθενομήτορ Μαριὰμ θεόνυμφε, καὶ ὁδηγήτρια, τῶν ἐπὶ σὲ πόθῳ, προσεχόντων Δέσποινα, καὶ τῇ σεπτῇ Εἰκόνι σου εὐλαβῶς προσπιπτόντων, τῇ ἀχειρομάτῳ ὁδήγησον, θεῖον εἰς λιμένα τοὺς σὲ μεγαλύνοντας.

Καταβασία.

Ὠδὴ γ΄. Ὁ Στερεώσας Κατ᾽ ἀρχάς.

Νοσοῦντας πάτερ χαλεπῶς, ἡμᾶς κατ᾽ ἄμφω, καὶ πᾶσι τοῖς τοῦ βίου χαλεποῖς κακουμένους, ἴασαι λυτρούμενος, πρεσβείαις σου ἀοίδιμε, ὅπως οἱ πάντες ἅμα, τὸν σὲ δοξάσαντα δοξάζωμεν.

Ὑπὲρ ἡμῶν τῶν ταπεινῶν, παρακαλεῖν μὴ ἐλλίπῃς, Διονύσιε παμμάκαρ τοὺς πάντας, λυτρωθῆναι τοῦ λοιμοῦ ὀργῆς θυμοῦ, καὶ μάστιγος, ὅπως σε κατὰ χρέος ὡς εὐεργέτην μακαρίζομεν.

Σὺ ὡς θεράπων τοῦ Θεοῦ, καὶ θεῖος ἱερομύστης, τῷ σῷ θρόνῳ, διαπρέψας ὁσίως, ὑποδείγμασι σοφοῖς καὶ θείαις εἰσηγήσεσιν, εἶθ᾽ ὡς Ἠλίας ἄλλος ὁδοὺς ἐρήμους διώδευσας. Θεοτοκίον.

Μαρία Μήτηρ τοῦ Θεοῦ, τῶν σεβομένων σου πόθῳ, τὴν Εἰκόνα τὴν σεπτήν τε καὶ ταύτην, κηρυττόντων ἀληθῶς, εἶναι ἀχειροποίητον, τοῖς χείλεσι δὸς χάριν, τοῦ μεγαλύνειν, καὶ δοξάζειν σε. Καταβασία.

Κάθισμα ἦχος β΄. τὰ ἄνω ζητῶν.

Τὸν θρόνον σοφὲ τοῦ πρωτοκλήτου εἴληφας, καὶ τὰς ἀρετὰς αὐτοῦ ὁμοτρόπως ἐζήλωσας. καὶ γὰρ ὡς ἀποτυχὼν τοῦ τρόπου τῆς ἐκχύσεως διὰ τὸν πόθον Χριστοῦ, τοῦ σοῦ αἵματος, τὴν σάρκα ἐνέκρωσας τῇ ἀσκήσει σου.

Θεοτοκίον.

Θείας γεγόναμεν κοινωνοὶ φύσεως, διὰ σοῦ Θεοτόκε ἀειπάρθενε. Θεὸν γὰρ ἡμῖν σεσαρκωμένον τέτοκας, διὸ κατὰ χρέος σε πάντες, εὐσεβῶς μεγαλύνομεν

Ὠ-

Ὠδὴ δ΄. Σύ μου ἰσχὺς Κύριε.

Ἱερουργῶν, τῷ πάντων κτίσῃ οὐκ ἔλιπες, ὑπὲρ πάντων φέρων τὴν ἀναίμακτον θυσίαν ἐν καθαρότητι, ψυχῆς καὶ καρδίας, ὡς ἄλλος ὄντως Ἀπόστολος, ἀλλὰ καὶ νῦν ὡς βλέπων, καθαρῶς θείαν δόξαν, τοὺς τιμῶντας σε σῶζε, πρεσβείαις σου.

Ὅλη ἡ γῆ, ἡ τῶν Φιλίππων ἀγάλλεται, ὡς θεόθεν λαχοῦσα κειμήλιον, καὶ θησαυρὸν θείων δωρεῶν, τὴν λάρνακα πάτερ, τῶν σῶν λειψάνων, καὶ τέρπεται, ἐν ταύτῃ καὶ δοξάζει, τὸν Σωτῆρα βοῶσα, τῷ ἐλέει σου δόξα Φιλάνθρωπε.

Νῦν ἀληθῶς, τῶν ὀρθοδόξων τὸ σύστημα, συναθροίζει ἡ σορὸς ἡ πάντιμος, τῶν ἱερῶν σου πανευλαβῶς, ἐνθέων λειψάνων, ἁγιασμὸν ἀναβλύζουσα, καὶ χάριν ἰαμάτων, ἡμῖν πᾶσι δωρεῖται, πατέρων πάτερ Διονύσιε.

Θεοτοκίον.

Σύ μου ἁγνή, ὕμνησις, σύ μου καὶ καύχημα, σὺ λιμήν μου, σύ μου καὶ προπύργιον, σύ μου ἐλπὶς καὶ καταφυγή, σὺ δὲ καὶ προστάτης, ἐμοῦ καὶ πάντων τῶν εὐσεβῶν, διό σου τὴν Εἰκόνα, εὐλαβείᾳ καὶ πόθῳ, προσκυνῶ καὶ τιμῶ παμμακάριστε.

Καταβασία. Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.

Ὑπερθαύμαστος ὄντως, σοῦ τοῦ Ἱεράρχου, ὦ πάτερ ἔνδοξε, βιοτὴ ἐφάνη, πενιχρῷ καὶ ἀδήλῳ προσχήματι, ἥν περ παραδόξως, πόθῳ τρωθεὶς τῷ τοῦ Δεσπότου, καρτερῶς καὶ γενναίως διήνυσας.

Μέγα καύχημα ὄντως, τῆς Μακεδονίας, καὶ φύλαξ ἀκοίμητος, πέφυκας φυλάττων, τὸν σὸν λαὸν ἐκ παντίων δεινῶν, περισώζεις δ᾽ ὡσαύτως, ἐκ τῆς ἀκρίδος καὶ βρούχου τὰς ἀμπέλους τὰς τούτων ἀρούρας τε.

Νέμει Πάτερ πλουσίως, ῥεῖθρα ἰαμάτων ἡ Κάρα ἡ πάντιμος, σοῦ τοῦ Ἱεράρχου, καὶ Ὁσίου τοῖς πόθῳ προσέχουσι, τῷ σεπτῷ Ναῷ σου, καὶ εὐλαβῶς ἀσπαζομένοις, ταύτην ὡς θεῖον αὐτῶν φυλακτήριον.

Θεοτοκίον.

Θεοτόκε παρθένε, Ἄνασσα σύ με ὁδήγησον, εἰς ὁδὸν εὐθεῖαν, πρὸς τὰς τρίβους Κυρίου, καὶ εὔθυνον, πρὸς δικαιοσύνην, τὰς ἐκτροπὰς τῶν λογισμῶν μου, καὶ ψυχῆς τὰς ἐννοίας χαρίτωσον. Καταβασία. Ὠδὴ ϛ΄. Ἱλάσθητί μοι Σωτήρ.

Ὡραΐσμα ἀληθῶς, σὲ ἔχει Εἰκοσιφοίνισσα. καὶ γὰρ ποτὲ ἐν αὐτῇ, ὁσίως διήνυσας, τὸν βίον σου ἔνδοξε, ἥν περ καὶ σεπτῷ σου, λειψάνῳ πάτερ κατεκόσμησας.

Παντοίων μάκαρ δεινῶν, ἡμᾶς ἀεὶ ἐκλυτρούμενος, μὴ διαλείπῃς καὶ νῦν, ποιεῖν, ἐκτενέστερον, Θεῷ τὰς ἐντεύξεις, ὑπὲρ τῶν ἐκ πόθου, προσκυνούντων σου τὰ λείψανα.

Ὁ

Ὁ λυτρωτὴς μου Θεὸς, σὲ Πάτερ ἐμοὶ δεδώρηται· ἐν νόσοις παντοδαπαῖς, ἰατρὸν πανάριστον, εὐχαρίστως κράζουσι, γῆ τῶν Μακεδόνων, ὡς πενήτων ἀντιλήπτορι.

Θεοτοκίον.

Σωτῆρα καὶ λυτρωτὴν, ἡμῖν Παρθένε γεγέννηκας, λυτρούμενον τῶν παθῶν, τοὺς σὲ μακαρίζοντας, τὴν δὲ ἀχειρότευκτον, καὶ σεπτὴν Εἰκόνα, προσκυνοῦντές σου σωζόμεθα.

Καταβασία.

Κοντάκιον. ἦχος δʹ. Ἐπεφάνης σήμερον.

Βίον Πάτερ ἄϋλον ἐξησκημένος, ἐν σαρκὶ, ὡς ἄσαρκος ἐπολιτεύσω ἐπὶ γῆς· ὅθεν Ἀγγέλοις ὁμόσκηνος, ἀναπεδείχθης, σοφὲ Διονύσιε.

Ὁ Οἶκος.

Οὐ δύναταί τις, Πάτερ, τοὺς ἀγῶνάς σου ἐξειπεῖν κατ᾽ ἀξίαν, οὐδὲ τὰ παλαίσματα ἱκανῶς ἐξυμνῆσαι. σὺ γὰρ ἀρχὴν βίου τὴν ἀρετὴν προστησάμενος, καὶ τὴν κατ᾽ αὐτὴν στενὴν ὁδεύσας ὁδὸν, οὐδενὸς ἥττων ἐγένου, ὅσοι τὸν ἀγῶνα τοῦτον τὸν καλὸν ἠγωνίσαντο. πάσας δ᾽ ὑπερβὰς τὰς δυσχωρίας, καὶ τὰ ἐν μέσῳ ὑπερπηδήσας, ἐπὶ τὴν κορυφὴν ἀνέδραμες, οὐδὲν ἕτερον, ἀλλ᾽ ἢ τὴν ἐν οὐρανῷ πολιτείαν διανοούμενος. τὴν δὲ σάρκα πιέσας, καὶ τῇ Δεσποίνῃ καθυποτάξας ψυχῇ, καὶ ὅλος ἔνθεος γενόμενος, ἀπέπτης πρὸς οὐρανὸν, καὶ πλατεῖαν εὗρες τῶν ἀγαθῶν τὴν κατάσχεσιν, καὶ τοῖς Ἀγγέλοις συναγαλλόμενος, μέμνησο καὶ ἡμῶν σοφὲ Διονύσιε.

Τῷ αὐτῷ Μηνὶ Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν ΔΙΟΝΥΣΙΟΥ Πατριάρχου Κωνσταντίνου Πόλεως, τοῦ ὕστερον ἀσκήσαντος ἐν τῇ ἱερᾷ Μονῇ τῆς Εἰκοσιφοινίσσης.

„ Διπλοῦν ὁ Χριστὸς σῇ Κάρᾳ βάλλει σέφος,
„ Διπλῇ ἅτ᾽ ἀσκήσαντος ἐν κόσμῳ Πάτερ.
„ Ἀρχιερήων, ἠδ᾽ Ὁσίων κλέος ὄντα σ᾽ ἀείδω.

Βίος τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Διονυσίου.

ΟὟτος Ὁ ἐν Ἁγίοις Πατὴρ ἡμῶν Διονύσιος ἐγεννήθη εἰς τὴν περιφανῆ Πελοπόννησον κατὰ τὰς ἀρχὰς τοῦ δεκάτου πέμπτου αἰῶνος ἀπὸ γονεῖς εὐσεβεῖς καὶ ἐναρέτους, καὶ ἀφ᾽ οὗ ἐδιδάχθη τὰ πρῶτα ἱερὰ γράμματα, μὴ δυνάμενος νὰ εὕρῃ τελειοτέραν μάθησιν ἐν τῇ πατρίδι του, ἀνεχώρησε καὶ κατέφυγεν εἰς τὴν Βασιλεύουσαν τῶν πόλεων, καὶ φθάσας ἐκεῖ προσεκολλήθη εἰς τὸν ἱερώτατον καὶ ἐπὶ σοφίᾳ καὶ ἀρετῇ παντοίᾳ περιφήμῳ Μητροπολίτην Ἐφέσου κύριον Μάρκον τὸν εὐγενικὸν, ἀπὸ τὸν ὁποῖον καὶ ἐδιδάχθη πᾶν εἶδος μαθήσεως καὶ ἀρετῆς. ἐπειδὴ

δὲ

δὲ κατ' ἐκείνους τοὺς χρόνους κρίμασιν, οἷς οἶδεν ὁ Κύριος, συνέβη καὶ ἡ ἅλωσις τῆς Κωνσταντινουπόλεως, ᾐχμαλωτίσθη καὶ ὁ ἱερὸς οὗτος ἀνὴρ, καὶ ἐδοκίμασεν ἀπείρους βασάνους, βιαζόμενος νὰ ἀρνηθῇ τὴν ἀμώμητον πίστιν, ἀλλ' ὑπέμεινεν ὁ ἀοίδιμος μὲ μεγάλην γενναιότητα ἕως οὗ Χριστιανός τις θεοσεβὴς ἐξ Ἀδριανουπόλεως διὰ μεσιτειῶν καὶ δωρεῶν τὸν ἠλευθέρωσεν. Ἔμεινε λοιπὸν πάλιν ἐν Κωνσταντινουπόλει μετερχόμενος κατ' ἰδίαν τὴν μοναδικὴν ζωὴν, καὶ προαγόμενος κατά τε ἀρετὴν καὶ σοφίαν. Ἀλλὰ καὶ μ' ὅλον τὸ ὅτι ὑπέκρυπτεν ἑαυτὸν, καὶ ἀπέφευγε τὰς κοσμικὰς τύρβας, καὶ τὴν δόξαν τῶν ἀνθρώπων, ἡ ἀρετή του δὲν ἔμεινε μέχρι τέλους κεκρυμμένη, ἀλλ' ἐκρατεῖτο πανταχοῦ, καὶ ὑπὸ πάντων ἐτιμᾶτο, διὸ καὶ ἐκλέγεται, καὶ ψηφίζεται Μητροπολίτης τῆς Φιλιππουπόλεως, καὶ ἐν ᾧ θεαρέστως καὶ θεοφιλῶς διῴκει τὸ ἐμπιστευθὲν αὐτῷ λογικὸν ποίμνιον, ψηφίζεται Πατριάρχης τῆς Κωνσταντινουπόλεως μὲ τρόπον τοιοῦτον κατὰ τὸ αυος'. ἔτος. Ἡ ἀρετὴ τοῦ ἀοιδίμου τούτου ἀνδρὸς ἐκροτήθη τόσον, ὥστε ἡ φήμη του εἰσεχώρησε καὶ μέσα εἰς τὰ βασιλικὰ παλάτια, καὶ τὸν ἐσέβετο μεγάλως μέσα ἡ μητρυιὰ τοῦ Σουλτὰν Μεχμέτη, ἐξωσθέντος δὲ κατ' ἐκεῖνον τὸν καιρὸν τῆς Πατριαρχείας Μάρκου τοῦ Ξυλοκαράβη, προεβιβάσθη εἰς αὐτὸν διὰ συνεργείας τῶν Τραπεζουντίων, καὶ μὲ δόσιν ἀσυνήθη εἰς τὸν Βασιλέα χιλίων Φλωρίων, Συμεὼν ὁ Τραπεζούντιος. Καὶ ἐπειδὴ συνέβη σχίσμα μεταξὺ τοῦ κλήρου καὶ τῶν Χριστιανῶν, καὶ οἱ μὲν ἤθελον τὸν Μάρκον, οἱ δὲ τὸν Συμεῶνα, μαθοῦσα τοῦτο Μαρία ἡ Μητρυιά τοῦ Βασιλέως, ἔβαλεν ἐπὶ δίσκου χρυσοῦ δύω χιλιάδες Φλωρίων ἐξ ἰδίων, καὶ προσφέρουσά τα τῷ Βασιλεῖ, τὸν παρακάλεσε νὰ ἐκδώσῃ θέσπισμα διὰ νὰ ἐκλεχθῇ Πατριάρχης τῶν Ῥωμαίων ὁ Φιλιππουπόλεως Διονύσιος. Ὁ δὲ Βασιλεὺς δεξάμενος καὶ τὴν προσφορὰν καὶ τὴν παρακαλεσίν της, ἐξέδοκε τὸ θέσπισμα, τὸ ὁποῖον ἀποδεξάμενοι μὲ ἄκραν χαρὰν οἵτε ἐκκλησιαστικοὶ καὶ κοσμικοὶ διὰ τὴν ἐνοῦσαν τῷ ἀνδρὶ ἀρετὴν, κοινῇ γνώμῃ ἐψήφισαν αὐτὸν Πατριάρχην, ὅστις καὶ ἀποκαταστὰς εἰς τὸν Πατριαρχικὸν θρόνον ἐκυβέρνα τὸν λαὸν εὐσεβῶς τε καὶ θεαρέστως γινόμενος παράδειγμα παντοίας ἀρετῆς εἰς τὴν ἱερὰν ἀδελφότητα καὶ εἰς τὸ ποίμνιόν του. Ἀλλ' ὁ πονηρὸς διάβολος ὅς τις ἀείποτε πολεμεῖ τὰ καλὰ, διήγειρε κατὰ τοῦ ἱεροῦ τούτου ἀνδρὸς χαιρεκάκους τινὰς καὶ κακεντρεχεῖς κληρικοὺς, οἵτινες μὴ δυνάμενοι νὰ προσάψωσιν εἰς αὐτὸν καμμίαν ἄλλην κατηγορίαν, ἐτόλμησαν οἱ ἀσυνείδητοι νὰ εἴπωσιν ὅτι ἦτον περιτετμημένος καὶ αὐτὸς ὁ λόγος ἐκοινολογήθη τόσον, ὥστε ἔφθασεν καὶ εἰς τὰς ἀκοὰς τοῦ ἀοιδίμου τούτου πατρός. λοιπὸν ἐν μιᾷ τῶν ἡμερῶν συνήθροισε πληρεστάτην Σύνοδον, καὶ ἀναστὰς ἐν τῷ μέσῳ, ἐγυμνώθη, καὶ ἔδειξε παῤῥησίᾳ εἰς ὅλους ἀκέραιον τὴν σάρκα τῆς ἀκρο-

 βυ-

βυσίας του ϗ οὕτω κατῃσχύνθησαν οἱ ἐναντίοι, καὶ πεσόντες κοινῶς ἅπαντες ἐζήτουν συγχώρησιν παρακαλοῦντές τον μετὰ θερμῶν δακρύων νὰ δεχθῇ τὴν μετάνοιάν των, ϗ ἀφ' οὗ τοῖς συγχωρήσῃ, νὰ μὴ τοὺς ὑστερήσῃ τῆς ποιμαντικῆς προστασίας του, ἀλλὰ νὰ μείνῃ εἰς τὸν Πατριαρχικὸν θρόνον. Ὅμως κατ' οὐδένα τρόπον δὲν ἐπείσθη, ἀλλὰ παραιτηθεὶς ἀπὸ τὸν θρόνον μὲ ἄκραν του εὐχαρίστησιν, καὶ ἀναχωρήσας ἀπὸ τῆς Κωνσταντινουπόλεως ἦλθεν εἰς τὴν ἱερὰν Μονὴν τῆς ΕἰκοσιΦοινίσσης κειμένην κατὰ τὴν Ἐπαρχίαν Φιλίππων ϗ Δράμας, ὅπου ἐνδυθεὶς τὸ μοναδικὸν σχῆμα ὑπέβαλε τὸν ἑαυτόν του εἰς τοὺς ἀσκητικοὺς ἀγῶνας, ϗ ὑπομείνας μέχρι τέλους καρτερικώτατα, ἔφθασεν εἰς τὴν τελειοτάτην ἀρετὴν ϗ ἁγιότητα, ὥστε καὶ ζῶν ἐγένετο αὐτουργὸς πολλῶν θαυμάτων, ϗ πολλοὶ ἔτρεχον εἰς αὐτὸν διὰ νὰ λαμβάνωσι τὰς ἰάσεις τῶν παθῶν των, ϗ νὰ ὠφελῶνται μὲ τὰς ψυχωφελεῖς διδασκαλίας του, καὶ ζήσας θεαρέστως τὸ ὑπόλοιπον τῆς ζωῆς του πρὸς Κύριον ἐξεδήμησεν, ϗ ἔμεινε τὸ ἱερόν του Λείψανον εἰς τὴν ἱερὰν αὐτὴν Μονὴν εἰς παρηγορίαν ϗ τῶν ἐκεῖ ἐνασκουμένων πατέρων ϗ τῶν κατοίκων ὅλων ἐκείνων τῶν μερῶν, καθότι ὅλοι προστρέχοντες μὲ εὐλάβειαν, ϗ προσκυνοῦντες μὲ πίστιν τὴν ἱερὰν Κάραν του λαμβάνουσι σωματικὴν ϗ ψυχικὴν ὠφέλειαν, ὁ ἱερὸς οὗτος ἀνὴρ ἀνώρθωσε σχεδὸν ἐκ θεμελίου, ἐμεγάλυνε, ἐκαλλώπισε μὲ διαφόρους οἰκοδομὰς, ϗ ἐν ἑνὶ λόγῳ ἔφερε τὴν ἱερὰν αὐτὴν Μονὴν εἰς τὴν μεγαλοπρέπειαν τὴν ὁποίαν ἔχει. Ὥστε κατὰ δίκαιον λόγον πρέπει νὰ ὀνομάζηται ϗ κτίτωρ αὐτῆς, ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις ὁ Θεὸς ἐλέησον ϗ σῶσον ἡμᾶς.

Ὠδὴ ζ'. Θεοῦ Συγκατάβασιν.

Θεοῦ συγκατάβασιν, ἐν διανοίᾳ σου ἔχων πάντοτε, ἐμιμήσω τὴν τούτου, πτωχείαν ἅπασαν ϗ ταπείνωσιν, ϗ σὺν Ἀγγέλοις γηθόμενος, ἀπολαμβάνεις αὐτοῦ τῶν ὑπὲρ νοῦν δωρεῶν.

Ὠδὰς παννυχίους σοι, ἐξᾴδει μάκαρ ΕἰκοσιΦοινίσσης Μονή. διὰ παντὸς γὰρ γεραίρει, τῶν θαυμασίων σου τὸ ἀέναον, ἣν φρουρῶν, πάσης βλάβης ἀπάλλαξον. σὲ γὰρ προβάλλει μεσίτην πρὸς Κύριον.

Χάριτάς σοι πάντοτε, τῆς ἀχειροποιήτου ϗ θείας Εἰκόνος Μονὴ, καυχωμένη κηρύττει, ὡς ἐντρυφῶσα ἀεὶ τῶν θαυμάτων σου. διὸ ϗ χαίρει βοῶσα πρὸς Κύριον, εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Θεοῦ καταβάσεως, πρὸς τοὺς ἀνθρώπους, σὺ εἶ τὸ ὄργανον, διὰ τοῦτο καὶ γλῶσσαι, τῶν γηγενῶν ἁπάντων σὲ μέλπουσι, ϗ μεγαλύνουσι Κόρη σεβόμενοι,



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

σϋ τὴν Εἰκόνα, ὡς αὐτῆς σϋ ἀντίτυπον.

Καταβασία Ὠδὴ ή. Ἑπταπλασίως κάμινον.

Ρῶσιν ἐκχέεις πάντοτε, τοῖς ἐν πίστει προστρέχουσι, τῇ παντίμῳ Κάρᾳ καὶ σεπτοῖς Λειψάνοις σου, παθῶν τε τὰ κύματα, κατακοιμίζεις πρεσβείαις ταῖς σαῖς, τῶν τῷ λυτρωτῇ ἀπὸ ψυχῆς ἐκβοώντων, οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαοὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὕδωρ τῇ γῇ αἰτούμενοι, εὐσεβεῖς λιτανεύουσι, τὴν σὴν θείαν Κάραν, μετ' αἰδοῦς προάγοντες, ἀκρίδος τὰ νέφη δὲ, διασκεδάννυνται παντελῶς, καὶ πᾶσα ἄλλη νόσος ἐκδιώκεται μάκαρ, ἧ πίστει παρεστῶτες εὐσεβῶς μελῳδοῦμεν, λαοὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Σωτῆρα πάντων εὕρηκε, σὲ ὁ δῆμος ὀξύτατον, τῆς Μακεδονίας, ὡς ἀεὶ προσφέροντα, θερμὰς ἱκεσίας σου, Θεῷ τῷ πάντων δημιουργῷ, ὑπὲρ τῶν ἐν πίστει, μελῳδούντων ἀπαύστως, οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἀνεπαφεῖς συντήρησον, ἱερὲ Διονύσιε, σοῦ θερμαῖς πρεσβείαις, τοῦ λοιμοῦ καὶ τῶν συμφορῶν, βαρβάρων τε κακώσεως, πυρὸς μαχαίρας καὶ μάστιγος, τοὺς ἐν σοὶ ἐκ πόθου τὴν ἐλπίδα θεμένους, καὶ πίστει μελῳδοῦντας, ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Φύλαττε παναμώμητε, τὴν σὴν ποίμνην ἀλώβητον, ἐξ ἐχθρῶν ἁπάντων, ὁρατῶν τε καὶ νοητῶν. ἐν σοὶ γὰρ καὶ πέποιθε, καὶ διὰ σοῦ σεμνύνεται, ὡς τὴν σὴν Εἰκόνα θησαυρὸν κεκτημένη, ἣ καὶ παριστάμενη μεγαλύνει βοῶσα, βροτοὶ ὑμνολογεῖτε, τὴν πάντων σωτηρίαν.

Καταβασία. Ὠδὴ θ'. Ἔφριξε πᾶσα ἀκοή.

Νεύρωσον πάντα μου τὸν νοῦν, καὶ διάνοιαν πρὸς θείαν ἀγάπησιν, ταῖς σαῖς πρὸς Κύριον, πρεσβείαις δέομαι πάτερ Ὅσιε, ὅπως ἀεὶ χαρμονικῶς, ὑμνῶ τὸν Σωτῆρα μου ἀνακηρύττων σε, σωτηρίας τῆς ἐμῆς ἀντιλήπτορα.

Θῦμα εὐῶδες τῷ Θεῷ, γεγονὼς δι' ἀρετῆς πάτερ Ὅσιε, ὡς ἱερὸς αὐτῷ. Διὸ μὴ παύσῃ καθικετεύων αὐτὸν, ὅπως ῥυσθῇ τῶν συμφορῶν, ὀργῆς καὶ κακώσεως ἐπερχομένων ἐχθρῶν, ἡ τιμῶσα σε θεία τῆς παρθένου Μονή.

Ὅλην σου πάτερ τὴν ζωὴν, ἐν πρᾳότητι καρδίας ἀνέδραμες ὡς μιμητὴς αὐτοῦ τοῦ σοῦ Δεσπότου, καὶ Διδασκάλου Χριστοῦ. διὸ τὴν γῆν ὡς ἀληθῶς, τῶν πρᾳέων εἴληφας, ἀλλὰ δυσώπει ἀεὶ, λυτρωθῆναι τῶν παθῶν τοὺς τιμῶντας σε.

Σω-

Σωτὴρ μȣ φάνηθι σοφὲ, Διονύσιε, ϗ θεία ἀντίληψις, ἐν τῷ τȣ βίȣ ἀεὶ, ἀςάτῳ κλύδωνι, κινδυνεύοντος, ϗ ἐν καιρῷ μοι παραςὰς, θανάτȣ εἰσάγαγε, εἰς τὸν Παράδεισον, ϗ πρεσβείαις σȣ, ἐκεῖ με κατάταξον.

Θεοτοκίον.

Ῥῦσαι με Δέσποινα ἁγνὴ, τῶν παγίδων τȣ ἐχθρȣ, ϗ ἀνόρθωσον, ἐνδυναμȣσα με, ἀεὶ ἐμμένειν, ἄτρεπτον ἄσειςον, ἐν ἐπιγνώσει τȣ Θεȣ, ϗ πράττειν τὸ θέλημα, τȣ σȣ Υἱȣ ϗ ὀρθῶς, βιοτεύειν σὺ τὸν τρόπον μοι δώρησαι.

Καταβασία Ἐξαποςειλάριον.

Ἀπόςολοι Ἐκ περάτων.

Τὸν μέγαν ἐν Ἱεράρχαις, ϗ Μοναζόντων τὸ κλέος, Πελοποννήσȣ τὸν γόνον, ϗ Μακεδόνων προςάτην, τὸν Διονύσιον πάντες, ἀνευφημήσωμεν ὕμνοις.

Χρυσοπλοκώτατε πύργε, ϗ δωδεκάτειχε πόλις, ἡλιοςάλακτε θρόνε, καθέδρα τȣ Βασιλέως, ἀκατανόητον θαῦμα, πῶς γαλȣχεῖς τὸν Δεσπότην;

Εἰς τȣς αἴνȣς. Πᾶσα πνοή. Ἱςῶμεν Στιχ. δ΄. Καὶ ψάλλομεν

Στίχ. Προσόμοια γ΄. Δευτερȣντες τὸ ά. ἦχος. δ΄.

Ὡς Γενναῖον ἐν Μάρτυσι.

Τὸν Ἰσάγγελον βίον σȣ, ϗ Ἀγγέλων τὰ τάγματα, πάτερ ἐξεπλάγησαν Διονύσιε, ϗ εἰς σιὼν τὴν ȣράνιον, συμπολίτην ἔνδοξον, ὡς ὁμότροπον αὐτοῖς, γεγηθότες ἐδέξαντο, ϗ συνόμιλον, ταῖς αὐτῶν ἱεραῖς χοροςασίαις, ἐγκατέςησαν ἀξίως ἱερȣργὲ παμμακάριςε.

Τὸ τριοσὸν τῆς Θεότητος, ἐπὶ γῆς ἐδογμάτισας, ϗ τὸν ὕμνον Ὅσιε τὸν Τρισάγιον, νῦν ἐκλαλεῖν κατηξίωσαι ϗ βλέπειν ὡς ἔγγιςα, Τρισυπόςατον αὐγὴν, Τρισηλίȣ Θεότητος, ἣν ἱκέτευε, λυτρωθῆναι σȣς δȣλȣς ἐκ κινδύνων, πολλαχῶς ἐπερχομένων Θαυματȣργὲ Διονύσιε.

Τῇ σορῷ τῶν Λειψάνων σȣ, οἱ πιςοὶ παριςάμενοι, ἐτησίοις ᾄσμασι, σὲ γεραίρομεν, ϗ σȣ Ἱκέται γινόμεθα, ῥυσθῆναι δεόμενοι, ἐκ παντοίων ἀλγεινῶν, ϗ μελλȣσης κολάσεως, ταῖς πρεσβείαις σȣ. Σὺ γὰρ Πάτερ προςάτης ἡμῶν πέλεις, ϗ ἐν σοὶ τῆς σωτηρίας, τὴν προσδοκίαν ἐθέμεθα.

Δόξα ἦχος πλ΄. ά.

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, χορεύσωμεν ἑόρτια, ϗ σκιρτήσωμεν ἀγαλλόμενοι, ἐν τῇ πανσέπτῳ πανηγύρει τȣ Ἱεράρχȣ ἡμῶν. Βασιλεῖς ϗ Ἄρχοντες συντρεχέτωσαν, ϗ τȣ Ποιμενάρχȣ κροτήτωσαν τὴν μνήμην, ὡς ἀξίως λάμψαντος, ἐν καιροῖς δεομένοις, διδασκαλίας, συντόνȣ τῆς πίςεως. Ποιμένες καὶ

Δι-

Διδάσκαλοι τὸν τῆς σεπτῆς Τριάδος, ἁγνὸν ἱερομύςην, συνελθόντες εὐφημήσωμεν, οἱ Φιλόσοφοι τὸν σοφὸν, οἱ ἱερεῖς τὸν ποιμένα, οἱ ἁμαρτωλοὶ τὸν προςάτην, οἱ πένητες τὸν πλουτιςὴν, οἱ ἐν θλίψεσι τὸν παραμυθοῦντα, τὸν συνοδίτην οἱ ὁδοιπόροι, οἱ ἐν θαλάσσῃ τὸν κυβερνήτην, οἱ πάντες τὸν πανταχοῦ θερμῶς προφθάνοντα, θεῖον Ἀρχιεράρχην, ἐγκωμιάζοντες, οὕτως εἴπωμεν, πανάγιε Διδάσκαλε, σπεῦσον ἐξελεῖν τοὺς πιςοὺς, ἐκ τῶν τοῦ βίου σκανδάλων, καὶ ῥῦσαι κολάσεων τῶν αἰωνίων ἡμᾶς. Καὶ νῦν. Μακαρίζομέν σε Θεοτόκε παρθένε.

Δοξολογία μεγάλη. καὶ ἀπόλυσις. Δίδοται καὶ ἅγιον ἔλαιον τοῖς ἀδελφοῖς.

Εἰς τὴν Λειτουργίαν τυπικὰ, καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου.

Ὠδὴ γ'. καὶ ς'.

Προκείμενον. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν. Οἱ οὐρανοὶ διηγοῦνται.

Πρὸς Ἑβραίους Ἀδελφοὶ, τοιοῦτος ἡμῖν ἔπρεπεν Ἀρχιερεύς.

Ἀλληλούια. Στίχ. Τίμιος ἐντίον Κυρίου.

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος, ἐγώ εἰμι ἡ θύρα. Δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται, καὶ εἰσελεύσεται, καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει. Ὁ κλέπτης οὐκ ἔρχεται, εἰ μὴ ἵνα κλέψῃ, καὶ θύσῃ, καὶ ἀπολέσῃ. Ἐγὼ ἦλθον, ἵνα ζωὴν ἔχωσι, καὶ περισσὸν ἔχωσιν. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός· ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων. Ὁ μισθωτὸς δὲ, καὶ οὐκ ὢν ποιμὴν, οὗ οὐκ εἰσὶ τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον, καὶ ἀφίησι τὰ πρόβατα· καὶ φεύγει· καὶ ὁ λύκος ἁρπάζει αὐτὰ, καὶ σκορπίζει τὰ πρόβατα. Ὁ δὲ μισθωτὸς φεύγει, ὅτι μισθωτός ἐςι, καὶ οὐ μέλει αὐτῷ περὶ τῶν προβάτων. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλὸς, καὶ γινώσκω τὰ ἐμὰ, καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν. Καθὼς γινώσκει με ὁ Πατὴρ, κἀγὼ γινώσκω τὸν Πατέρα. Καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔςιν ἐκ τῆς αὐλῆς ταύτης. Κἀκεῖνά με δεῖ ἀγαγεῖν, καὶ τῆς φωνῆς μου ἀκούσουσι καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν.

Μεγαλυνάριον.

Δεῦτε Μακεδόνων πλήθη πιςῶν, ςήσαθε χορείαν, εὐφημοῦντες πανευλαβῶς, τὸν θεῖον ποιμένα, καὶ μέγαν πολιοῦχον, τῆς Εἰκοσιφοινίσσης, τὸν Διονύσιον.

Τῷ

Τῷ Πανοσιωτάτῳ Προηγεμένῳ τῆς Ἱερᾶς Μονῆς τῆς ΕἰκοσιΦοινίσσης Κυρίῳ Νεκταρίῳ τὴν ἀδελφικὴν ἀποδίδωμι πρόσρησιν.

ΟΣον ϗ ἂν καταπίπτωσι τὰ καλὰ ϗ Φαίνωνται, ὅτι κλίνεσιν εἰς Φθορὰν, ἡ θεία πρόνοια δὲν τὰ ἐγκαταλιμπάνει εἰς τὸ παντελὲς, ἀλλὰ πολλάκις καὶ παρὰ πᾶσαν ἐλπίδα ἐξανίσησιν ἄνδρας Φιλοκάλες ϗ θεοσεβεῖς, διὰ τῶν ὁποίων ἀνορθώνει, ῥυθμίζει, ϗ Φέρει αὐτὰ εἰς τὴν προτέραν των σάσιν, ἢ ϗ εἰς πολλῷ κρείττονα. Τοιῦτος ἐΦάνης ϗ σὺ, πάτερ, εἰς τὴν ἱερὰν Μονὴν τῆς ΕἰκοσιΦοινίσσης, εἰς τὴν ὁποίαν ἀπὸ νεότητος προσήλωσας σεαυτόν, ϗ ἡ Φήμη διακηρύττει πανταχῦ τὸν ζῆλον σε, ϗ τὲς διαΦόρες καλλωπισμὲς, μὲ τὲς ὁποίες ἐκόσμησας κατὰ διαΦόρες καιρὲς τὴν ἱερὰν αὐτὴν Μονήν. ἐπισΦραγίζει δὲ ὅλα ἡ Φιλόθεος Φιλοτιμία, τὴν ὁποίαν ἔδειξας εἰς τὸ νὰ διορθωθῇ ϗ νὰ ἐκδοθῇ εἰς τύπον ἡ τῆς ἱερᾶς αὐτῆς Μονῆς ἱσορία, ϗ νὰ γένηται ἡ ἀναπλήρωσις τῶν, ὅσα ἐλλάπεσι. Τῦτον τὸν θεάρεσον ζῆλον ἀποδεξάμενος ϗ ἐγὼ, ϗ ἐπαινέσας, παρεῖδον πᾶσαν ἄλλην με ἐργασίαν, ἐνηχολήθην τρεῖς χεδὸν Μῆνας εἰς τῦτο τὸ ἔργον ϗ διώρθωσα, ἀνεκάθηρα, ἐπηύξησα ϗ ἀνεπλήρωσα πάντα. Ἀπόλαβε λοιπὸν, ἀδελφὲ, τὸ καλὸν, τὸ ὁποῖον μὲ τόσον ζῆλον ἐπεθύμησας, ϗ μέμνησο Φίλε, ὅς τις ϗ χωρὶς αὐτοψίας διὰ τὴν ἀγαθήν σε Φιλοκαλίαν σὲ σέβεται.

τῆς Πανοσιότητός σε

ἐν Χρισῷ ἀδελφός.

Ἱλαρίων Σιναΐτης

Κρής.

ΑΚΑΔΗΜΙΑ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
007000031645